**Exegetisk genomgång av evangeliet för 3 Advent, årg. 2**

**Matteus 11:12-19**

ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτιστοῦ ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται καὶ βιασταὶ
ἁρπάζουσιν αὐτήν. 13 πάντες γὰρ οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου ἐπροφήτευσαν· 14 καὶ εἰ θέλετε
δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. 15 ὁ ἔχων ὦτα ἀκουέτω.

16 Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην; ὁμοία ἐστὶν παιδίοις καθημένοις ἐν ταῖς ἀγοραῖς ἃ προσφωνοῦντα
τοῖς ἑτέροις 17 λέγουσιν· ηὐλήσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε, ἐθρηνήσαμεν καὶ οὐκ ἐκόψασθε. 18 ἦλθεν γὰρ
Ἰωάννης μήτε ἐσθίων μήτε πίνων, καὶ λέγουσιν· δαιμόνιον ἔχει. 19 ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ
πίνων, καὶ λέγουσιν· ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν. καὶ ἐδικαιώθη
ἡ σοφία ἀπὸ τῶν ἔργων αὐτῆς.

En utförlig översikt över tolkningar av Matt 11: 12 finns i:

P. S. Cameron, *Violence and the Kingdom: The Interpretation of Matthew 11.12* (Frankfurt am Main: Peter Lang, 1988).

För den alternativa översättningen av Matt 11:19, se:

S. Gathercole, ”The Justification of Wisdom (Matt 11.19b/Luke 7.35*)”, New Testament Studies* 49 (2003): 476-488.